**Anthropologie de la parole dans l'Inde**
Séminaire animé conjointement par
Émilie Arrago-Boruah (LIAS)
Christèle Barois (CEIAS)
Francis Zimmermann (EHESS)
Séance du jeudi 26 mars 2015

# Le jeu sur les noms des dieux

**Exemplier — textes grecs**

1. iliade_VI.73-76 & 87-97
2. iliade_VI.297-311
3. iliade_V.855-863
4. iliade_XIV.211-224

ἀλλ᾽ ἄνδρας κτείνωμεν· ἔπειτα δὲ καὶ τὰ ἕκηλοι
νεκροὺς ἂμ πεδίον συλήσετε τεθνηῶτας. »
"Ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου·
ἔνθά κεν αὖτε Τρῶες ἀρηιφίλων ὑπ᾽ Ἀχαιῶν
Ἴλιον εἰσανέβησαν ἀναλκείῃσι δαμέντες,
εἰ μὴ ἄρ᾽ Αἰνείᾳ τε καὶ Ἕκτορι εἶπε παραστὰς
Πριαμίδης Ἕλενος, οἰωνοπόλων ὄχ᾽ ἄριστος·
« Αἰνεία τε καὶ Ἕκτορ, ἐπεὶ πόνος ὔμμι μάλιστα
Τρώων καὶ Λυκίων ἐγκέκλιται, οὕνεκ᾽ ἄριστοι
πᾶσαν ἐπ᾽ ἰθύν ἐστε μάχεσθαί τε φρονέειν τε,
στῆτ᾽ αὐτοῦ, καὶ λαὸν ἐρυκάκετε πρὸ πυλάων
πάντῃ ἐποιχόμενοι, πρὶν αὖτ᾽ ἐν χερσὶ γυναικῶν
φεύγοντας πεσέειν, δηίοισι δὲ χάρμα γενέσθαι.
Αὐτὰρ ἐπεί κε φάλαγγας ἐποτρύνητον ἁπάσας,
ἡμεῖς μὲν Δαναοῖσι μαχησόμεθ᾽ αὖθι μένοντες,
καὶ μάλα τειρόμενοί περ· ἀναγκαίη γὰρ ἐπείγει·
Ἕκτορ, ἀτὰρ σὺ πόλιν δὲ μετέρχεο, εἰπὲ δ᾽ ἔπειτα
μητέρι σῇ καὶ ἐμῇ· ἡ δὲ ξυνάγουσα γεραιὰς
νηὸν Ἀθηναίης γλαυκώπιδος ἐν πόλει ἄκρῃ,
οἴξασα κληῖδι θύρας ἱεροῖο δόμοιο,
πέπλον, ὅς οἱ δοκέει χαριέστατος ἠδὲ μέγιστος
εἶναι ἐνὶ μεγάρῳ καί οἱ πολὺ φίλτατος αὐτῇ,
θεῖναι Ἀθηναίης ἐπὶ γούνασιν ἠυκόμοιο,
καί οἱ ὑποσχέσθαι δυοκαίδεκα βοῦς ἐνὶ νηῷ
ἤνις ἠκέστας ἱερευσέμεν, αἴ κ᾽ ἐλεήσῃ
ἄστυ τε καὶ Τρώων ἀλόχους καὶ νήπια τέκνα,

*Num.* — **88-89** forsitan damnauerint quidam, cf. schol. BLT : εἰς τὸ γλαυκώπιδος στικτέον... ἢ περισσοὶ οἱ δύο στίχοι· διὸ οὐδὲ ὑπὸ τοῦ Ἕκτορος λέγονται (263-285)· οὐ γὰρ αὐτῇ τὸ οἶξαι προσῆκεν.

*Var.* — **71** sic (Ar. [A], testes) : Τρώων ἂμ πεδίον συλήσομεν ἔντεα νεκρούς Zen. [ABLT] || **74** ἀναλκείῃσι* (testis) : ἀναλκίῃσι (A) || **76** οἰωνοπόλων ὄχ᾽ ἄριστος (Ar. ut uid.) : μάντις τ᾽ οἰωνοπόλος τε Ar. διχῶς sec. Ammonium [ALT] || **82** δηίοισι δὲ* : δηίοισί τε || **86** μετέρχεο* : μετοίχεο (*Anecd. Roman.*, Eust.) || **87** γεραιὰς* : γεραιρὰς *quidam* [B], quod malunt Schulze et Wilamowitz, uel γεραρὰς (*quidam* [LT]).



αἴ κεν Τυδέος υἱὸν ἀπόσχῃ Ἰλίου ἱρῆς,
ἄγριον αἰχμητήν, κρατερὸν μήστωρα φόβοιο,
ὃν δὴ ἐγὼ κάρτιστον Ἀχαιῶν φημι γενέσθαι·
οὐδ᾽ Ἀχιλῆά ποθ᾽ ὧδέ γ᾽ ἐδείδιμεν, ὄρχαμον ἀνδρῶν,
ὅν πέρ φασι θεᾶς ἐξ ἔμμεναι· ἀλλ᾽ ὅδε λίην
μαίνεται, οὐδέ τίς οἱ δύναται μένος ἰσοφαρίζειν. »
"Ὣς ἔφαθ᾽, Ἕκτωρ δ᾽ οὔ τι κασιγνήτῳ ἀπίθησεν·
αὐτίκα δ᾽ ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε,
πάλλων δ᾽ ὀξέα δοῦρα κατὰ στρατὸν ᾤχετο πάντῃ,
ὀτρύνων μαχέσασθαι, ἔγειρε δὲ φύλοπιν αἰνήν·
οἱ δ᾽ ἐλελίχθησαν καὶ ἐναντίοι ἔσταν Ἀχαιῶν·
Ἀργεῖοι δ᾽ ὑπεχώρησαν, λῆξαν δὲ φόνοιο,
φὰν δέ τιν᾽ ἀθανάτων ἐξ οὐρανοῦ ἀστερόεντος
Τρωσὶν ἀλεξήσοντα κατελθέμεν, ὣς ἐλέλιχθεν·
Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο μακρὸν ἀύσας·
« Τρῶες ὑπέρθυμοι τηλεκλειτοί τ᾽ ἐπίκουροι,
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς,
ὄφρ᾽ ἂν ἐγὼ βείω προτὶ Ἴλιον, ἠδὲ γέρουσιν
εἴπω βουλευτῇσι καὶ ἡμετέρῃς ἀλόχοισι
δαίμοσιν ἀρήσασθαι, ὑποσχέσθαι δ᾽ ἑκατόμβας. »
"Ὣς ἄρα φωνήσας ἀπέβη κορυθαίολος Ἕκτωρ·
ἀμφὶ δέ μιν σφυρὰ τύπτε καὶ αὐχένα δέρμα κελαινόν,
ἄντυξ ἣ πυμάτη θέεν ἀσπίδος ὀμφαλοέσσης.
Γλαῦκος δ᾽ Ἱππολόχοιο πάις καὶ Τυδέος υἱὸς
ἐς μέσον ἀμφοτέρω συνίτην μεμαῶτε μάχεσθαι·
οἱ δ᾽ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾽ ἀλλήλοισιν ἰόντες,

*Num.* — **119-236** cf. schol. A : μετατιθέασί τινες ἀλλαχόσε ταύτην τὴν σύστασιν.

*Var.* — **96** αἴ* (Eust.) : ὥς (Ar. [ALT]) || **105** μαχέσασθαι* : -έεσθαι (Eust.), uel -έσεσθαι || **109** κατελθέμεν* : μετελθέμεν || **111** Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί codd. nonn. = Θ 173 || τηλεκλειτοί* : -κλητοί || **112** ἀνέρες ἔστε θοοὶ καὶ ἀμύνετον ἄστει λώβην Zen. [A] || **113** ὄφρ᾽ ἂν (Ar. [A]) : ὄφρα κ᾽ Ar. διχῶς [A] || προτὶ* (testes) : ποτὶ (testes) || **115** δ᾽* : θ᾽ (Eust.) || **120** ἀμφοτέρω (A), cf. Ψ 814 : -τέρων* (A in marg.) || **121** ἰόντες : -τε Zen., Arist. [A], Ar. [ALT], cf. E 630.

αὐτὴ δ᾽ ἐς θάλαμον κατεβήσετο κηώεντα,
ἔνθ᾽ ἔσάν οἱ πέπλοι παμποίκιλα ἔργα γυναικῶν
Σιδονίων, τὰς αὐτὸς Ἀλέξανδρος θεοειδὴς
ἤγαγε Σιδονίηθεν, ἐπιπλὼς εὐρέα πόντον,
τὴν ὁδὸν ἣν Ἑλένην περ ἀνήγαγεν εὐπατέρειαν·
τῶν ἕν᾽ ἀειραμένη Ἑκάβη φέρε δῶρον Ἀθήνῃ,
ὃς κάλλιστος ἔην ποικίλμασιν ἠδὲ μέγιστος,
ἀστὴρ δ᾽ ὣς ἀπέλαμπεν· ἔκειτο δὲ νείατος ἄλλων·
βῆ δ᾽ ἰέναι, πολλαὶ δὲ μετεσσεύοντο γεραιαί.
Αἳ δ᾽ ὅτε νηὸν ἵκανον Ἀθήνης ἐν πόλει ἄκρῃ,
τῇσι θύρας ὤϊξε Θεανὼ καλλιπάρῃος,
Κισσηΐς, ἄλοχος Ἀντήνορος ἱπποδάμοιο·
τὴν γὰρ Τρῶες ἔθηκαν Ἀθηναίης ἱέρειαν·
αἳ δ᾽ ὀλολυγῇ πᾶσαι Ἀθήνῃ χεῖρας ἀνέσχον·
ἣ δ᾽ ἄρα πέπλον ἑλοῦσα Θεανὼ καλλιπάρῃος
θῆκεν Ἀθηναίης ἐπὶ γούνασιν ἠϋκόμοιο,
εὐχομένη δ᾽ ἠρᾶτο Διὸς κούρῃ μεγάλοιο·
« Πότνι᾽ Ἀθηναίη, ἐρυσίπτολι, δῖα θεάων,
ἆξον δὴ ἔγχος Διομήδεος, ἠδὲ καὶ αὐτὸν
πρηνέα δὸς πεσέειν Σκαιῶν προπάροιθε πυλάων,
ὄφρά τοι αὐτίκα νῦν δυοκαίδεκα βοῦς ἐνὶ νηῷ
ἤνις ἠκέστας ἱερεύσομεν, αἴ κ᾽ ἐλεήσῃς
ἄστύ τε καὶ Τρώων ἀλόχους καὶ νήπια τέκνα. »
Ὣς ἔφατ᾽ εὐχομένη, ἀνένευε δὲ Παλλὰς Ἀθήνη.
Ὣς αἱ μέν ῥ᾽ εὔχοντο Διὸς κούρῃ μεγάλοιο,
Ἕκτωρ δὲ πρὸς δώματ᾽ Ἀλεξάνδροιο βεβήκει

***Num.*** — **311** damn. Ar. : ὅτι πρὸς οὐδὲν τὸ ἐπιφώνημα καὶ οὐκ εἰθισμένον· κατὰ μὲν γὰρ τὸ ἐναντίον ὁ Ζεὺς ἐπιβεβαιοῖ κατανεύων· καὶ ἑξῆς δ᾽ ἐπιλεγομένου ὣ ς α ἱ μ έ ν ῥ ᾽ ε ὔ χ ο ν τ ο σαφῶς γίνεται περισσὸς ὁ στίχος· γελοία δὲ καὶ ἡ ἀνανεύουσα Ἀθηνᾶ [A].

***Var.*** — **288** sic legitur in codd. plerisque, Eust. : ἡ δ᾽ εἰς οἶκον ἰοῦσα παρίστατο φωριαμοῖσι (u. l. apud Ar. [AG], pap. 1 [sed in marg. νόθος ὁ στίχος]), cf. ο 104 || **289** παμποίκιλα : παμποίκιλοι* (pap. 1, A, Herodotus II 116) || **290** τὰς* (Herodotus, Eust.) : ἃς (pap. 1, Strab. 41) || **293** ἀειραμένη* : -ομένη || **297** αἱ δ᾽* : ἀλλ᾽ (T) || **305** ἐρυσίπτολι (Eust., testes) : ῥυσίπτολι *melius* [ALT] || **311** ἀνένευε* : -νευσε.



καλά, τὰ ῥ᾽ αὐτὸς ἔτευξε σὺν ἀνδράσιν οἳ τότ᾽ ἄριστοι
ἦσαν ἐνὶ Τροίῃ ἐριβώλακι τέκτονες ἄνδρες,
οἵ οἱ ἐποίησαν θάλαμον καὶ δῶμα καὶ αὐλὴν
ἐγγύθι τε Πριάμοιο καὶ Ἕκτορος ἐν πόλει ἄκρῃ·
ἔνθ᾽ Ἕκτωρ εἰσῆλθε Διὶ φίλος, ἐν δ᾽ ἄρα χειρὶ
ἔγχος ἔχ᾽ ἑνδεκάπηχυ· πάροιθε δὲ λάμπετο δουρὸς
αἰχμὴ χαλκείη, περὶ δὲ χρύσεος θέε πόρκης.
Τὸν δ᾽ εὗρ᾽ ἐν θαλάμῳ περικαλλέα τεύχε᾽ ἕποντα,
ἀσπίδα καὶ θώρηκα, καὶ ἀγκύλα τόξ᾽ ἁφόωντα·
Ἀργείη δ᾽ Ἑλένη μετ᾽ ἄρα δμῳῇσι γυναιξὶν
ἧστο, καὶ ἀμφιπόλοισι περικλυτὰ ἔργα κέλευε·
τὸν δ᾽ Ἕκτωρ νείκεσσεν ἰδὼν αἰσχροῖς ἐπέεσσι·
« Δαιμόνι᾽, οὐ μὲν καλὰ χόλον τόνδ᾽ ἔνθεο θυμῷ·
λαοὶ μὲν φθινύθουσι περὶ πτόλιν αἰπύ τε τεῖχος
μαρνάμενοι, σέο δ᾽ εἵνεκ᾽ ἀϋτή τε πτόλεμός τε
ἄστυ τόδ᾽ ἀμφιδέδηε· σὺ δ᾽ ἂν μαχέσαιο καὶ ἄλλῳ,
εἴ τινά που μεθιέντα ἴδοις στυγεροῦ πολέμοιο·
ἀλλ᾽ ἄνα, μὴ τάχα ἄστυ πυρὸς δηΐοιο θέρηται. »
Τὸν δ᾽ αὖτε προσέειπεν Ἀλέξανδρος θεοειδής·
« Ἕκτορ, ἐπεί με κατ᾽ αἶσαν ἐνείκεσας οὐδ᾽ ὑπὲρ αἶσαν,
τοὔνεκά τοι ἐρέω· σὺ δὲ σύνθεο καί μευ ἄκουσον·
οὔ τοι ἐγὼ Τρώων τόσσον χόλῳ οὐδὲ νεμέσσι
ἥμην ἐν θαλάμῳ, ἔθελον δ᾽ ἄχεϊ προτραπέσθαι.
Νῦν δέ με παρειποῦσ᾽ ἄλοχος μαλακοῖς ἐπέεσσιν
ὅρμησ᾽ ἐς πόλεμον· δοκέει δέ μοι ὧδε καὶ αὐτῷ
λώϊον ἔσσεσθαι· νίκη δ᾽ ἐπαμείβεται ἄνδρας.

***Num.*** — **318-320** (318 cf. Θ 493, 319-320 = Θ 494-495) damn. Ar. teste schol. A ad Θ 493 : ὁ δὲ Ἀρίσταρχος οἰκειότερον ἐνταῦθα κεῖσθαι λέγει, διὰ τὸ ἐν τῷ στρατεύματι διαλέγεσθαι.

***Var.*** — **318** ἔνθ᾽ : ἐν δ᾽ testis || **319** ἔχ᾽ ἑνδεκάπηχυ* (Heracleo, Alexio [A]) : ἔχεν δεκάπηχυ (*quidam* [A], Eust.) || **321** θαλάμῳ* (Eust., testis) : μεγάροις || **322** τόξ᾽ ἁφόωντα* (Eust.) : τόξα φόωντα (*quidam* [BLT], testis) || **324** ἧστο καὶ ἀμφιπόλοισι : ειατο καμφιπολοισι pap. 190 [?] || ἔργα κέλευε* [uel ἐκ.] (Eust.) : ἔργ᾽ ἐπέτελλε || **330** εἴ* (Eust.) : ὅν (Ar. [AT]) || ἴδοις* : ἴδῃς (G) || **335** Τρώων τόσσον* : τόσσον Τρώων || νεμέσσι (*pap.* 5, A, sch. LT) : -έσσει* (Eust.) || **336** ἥμην* : ἥμην (*quidam* [ABLT]).

ὃς πρῴην μὲν ἐμοί τε καὶ Ἥρῃ στεῦτ᾽ ἀγορεύων
Τρωσὶ μαχήσεσθαι, ἀτὰρ Ἀργείοισιν ἀρήξειν,
νῦν δὲ μετὰ Τρώεσσιν ὁμιλεῖ, τῶν δὲ λέλασται. »
Ὣς φαμένη Σθένελον μὲν ἀφ᾽ ἵππων ὦσε χαμᾶζε,
χειρὶ πάλιν ἐρύσασ᾽, ὁ δ᾽ ἄρ᾽ ἐμμαπέως ἀπόρουσεν·
ἡ δ᾽ ἐς δίφρον ἔβαινε παραὶ Διομήδεα δῖον
ἐμμεμαυῖα θεά· μέγα δ᾽ ἔβραχε φήγινος ἄξων
βριθοσύνῃ· δεινὴν γὰρ ἄγεν θεὸν ἄνδρά τ᾽ ἄριστον·
λάζετο δὲ μάστιγα καὶ ἡνία Παλλὰς Ἀθήνη·
αὐτίκ᾽ ἐπ᾽ Ἄρηι πρώτῳ ἔχε μώνυχας ἵππους.
Ἤτοι ὁ μὲν Περίφαντα πελώριον ἐξενάριζεν,
Αἰτωλῶν ὄχ᾽ ἄριστον, Ὀχησίου ἀγλαὸν υἱόν·
τὸν μὲν Ἄρης ἐνάριζε μιαιφόνος· αὐτὰρ Ἀθήνη
δῦν᾽ Ἄιδος κυνέην, μή μιν ἴδοι ὄβριμος Ἄρης.
Ὡς δὲ ἴδε βροτολοιγὸς Ἄρης Διομήδεα δῖον,
ἤτοι ὁ μὲν Περίφαντα πελώριον αὐτόθ᾽ ἔασε
κεῖσθαι, ὅθι πρῶτον κτείνων ἐξαίνυτο θυμόν,
αὐτὰρ ὁ βῆ ῥ᾽ ἰθὺς Διομήδεος ἱπποδάμοιο.
Οἳ δ᾽ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾽ ἀλλήλοισιν ἰόντες,
πρόσθεν Ἄρης ὠρέξαθ᾽ ὑπὲρ ζυγὸν ἡνία θ᾽ ἵππων
ἔγχεϊ χαλκείῳ, μεμαὼς ἀπὸ θυμὸν ἑλέσθαι·
καὶ τό γε χειρὶ λαβοῦσα θεὰ γλαυκῶπις Ἀθήνη
ὦσεν ὑπ᾽ ἐκ δίφροιο ἐτώσιον ἀιχθῆναι.
Δεύτερος αὖθ᾽ ὡρμᾶτο βοὴν ἀγαθὸς Διομήδης

***Num.*** — **836 a b** (= 904-905) ὣς ἄρα καρπαλίμως ἰάσατο θοῦρον Ἄρηα· | τὸν δ᾽ Ἥβη λοῦσε, χαρίεντα δὲ εἵματα ἕσσε add. i. m. T² || **838-839** damn. Ar.: ὅτι οὐκ ἀναγκαῖοι καὶ γελοῖοι καί τι ἐναντίον ἔχοντες· τί γάρ, εἰ χείριστοι ἦσαν ταῖς ψυχαῖς, εὐειδεῖς δὲ καὶ εὔσαρκοι; [A].

***Var.*** — **833** μαχήσεσθαι* (pap. 95 s. l.): -σασθαι (pap. 95 ante corr.) || **836** ἐμμαπέως (testes): ἐμμεμαὼς codd. duo || ἀπόρουσεν: ἐπ- codd. duo || **838** φήγινος (testes): πήδινος testes, *antiqui* sec. Eust. 613, 9 || **839** τ᾽*: δ᾽ (Ar. [A]) || **842** ἐξενάριζεν (A in ras.): -ιξεν* (*quidam* [A]) || **844** ἐνάριζε: -ιξε || **848** κεῖσθαι ὅθι πρῶτον*: κεῖσθ᾽ ὅθι πρῶτόν μιν || **852** ἑλέσθαι (A, pap. 1): ὀλέσσαι* (u. l. [A]) || **854** ὑπ᾽ ἐκ* (u. l. [A], Eust.): ὑπὲρ (A) || **855** δεύτερος*: -ρον || αὖθ᾽*: δ᾽ αὖθ᾽.



ἔγχεϊ χαλκείῳ· ἐπέρεισε δὲ Παλλὰς Ἀθήνη
νείατον ἐς κενεῶνα, ὅθι ζωννύσκετο μίτρην·
τῇ ῥά μιν οὖτα τυχών, διὰ δὲ χρόα καλὸν ἔδαψεν,
ἐκ δὲ δόρυ σπάσεν αὖτις· ὁ δ᾽ ἔβραχε χάλκεος Ἄρης,
ὅσσόν τ᾽ ἐννεάχιλοι ἐπίαχον ἢ δεκάχιλοι
ἀνέρες ἐν πολέμῳ ἔριδα ξυνάγοντες Ἄρηος·
τοὺς δ᾽ ἄρ᾽ ὑπὸ τρόμος εἷλεν Ἀχαιούς τε Τρῶάς τε
δείσαντας· τόσον ἔβραχ᾽ Ἄρης ἄατος πολέμοιο.
Οἵη δ᾽ ἐκ νεφέων ἐρεβεννὴ φαίνεται ἀὴρ
καύματος ἐξ ἀνέμοιο δυσαέος ὀρνυμένοιο,
τοῖος Τυδεΐδῃ Διομήδεϊ χάλκεος Ἄρης
φαίνεθ᾽ ὁμοῦ νεφέεσσιν ἰὼν εἰς οὐρανὸν εὐρύν.
Καρπαλίμως δ᾽ ἵκανε θεῶν ἕδος, αἰπὺν Ὄλυμπον,
πὰρ δὲ Διὶ Κρονίωνι καθέζετο θυμὸν ἀχεύων,
δεῖξεν δ᾽ ἄμβροτον αἷμα καταρρέον ἐξ ὠτειλῆς,
καί ῥ᾽ ὀλοφυρόμενος ἔπεα πτερόεντα προσηύδα·
« Ζεῦ πάτερ, οὐ νεμεσίζῃ ὁρῶν τάδε καρτερὰ ἔργα;
αἰεί τοι ῥίγιστα θεοὶ τετληότες εἰμὲν
ἀλλήλων ἰότητι, χάριν ἄνδρεσσι φέροντες.
Σοὶ πάντες μαχόμεσθα· σὺ γὰρ τέκες ἄφρονα κούρην,
οὐλομένην, ᾗ τ᾽ αἰὲν ἀήσυλα ἔργα μέμηλεν·
ἄλλοι μὲν γὰρ πάντες, ὅσοι θεοί εἰσ᾽ ἐν Ὀλύμπῳ,
σοί τ᾽ ἐπιπείθονται καὶ δεδμήμεσθα ἕκαστος·
ταύτην δ᾽ οὔτ᾽ ἔπεϊ προτιβάλλεαι οὔτέ τι ἔργῳ,
ἀλλ᾽ ἀνίεις, ἐπεὶ αὐτὸς ἐγείναο παῖδ᾽ ἀίδηλον·
ἣ νῦν Τυδέος υἱόν, ὑπέρθυμον Διομήδεα,

***Num.*** — **863** om. codex.

***Var.*** — **857** ζωννύσκετο: στελλέσκετο *in quibusdam commentariis* [ALT] || μίτρην* (pap. 1, Herodianus [B], Eust., testis): μίτρῃ (Ar. [ABLT]) || **858** τῇ ῥά: ἔνθα Eust. || **860** τ᾽: δ᾽ T et Arist. ad Ξ 148 || ἐννεάχιλοι... ... δεκάχιλοι*: -χειλοι... -χειλοι (u. l. [Eust.]), cf. Ξ 148 || **862** τοὺς δ᾽: τοὺς codd. duo || **863** ἄατος *An. Rom.*: ἆτος cett. codd. || **864** οἷος δ᾽ ἐκ νεφέων ἐρεβεννῶν φαίνεται ἀὴρ u. l. in uno cod. || **872** καρτερὰ ἔργα*: ἔργ᾽ ἀίδηλα (sch. LT), cf. 757 || **874** χάριν (Eust.): χάριν δ᾽ (A, Ar. [ALT]) || **880** ἀνίεις* (A, Eust.): -ίῃς; uel -ιεῖς, quod scrib. edd. plerique || **881** ὑπέρθυμον *(*uolgares* [ALT]): ὑπερφίαλον Ar. [ALT], codd. duo.

γαίης νέρθε καθεῖσε καὶ ἀτρυγέτοιο θαλάσσης·
τοὺς εἶμ' ὀψομένη, καί σφ' ἄκριτα νείκεα λύσω·
ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται
εὐνῆς καὶ φιλότητος, ἐπεὶ χόλος ἔμπεσε θυμῷ.
Εἰ κείνω γ' ἐπέεσσι παραιπεπιθοῦσα φίλον κῆρ
εἰς εὐνὴν ἀνέσαιμι ὁμωθῆναι φιλότητι,
αἰεί κέ σφι φίλη τε καὶ αἰδοίη καλεοίμην. »
Τὴν δ' αὖτε προσέειπε φιλομμειδὴς Ἀφροδίτη·
« Οὐκ ἔστ' οὐδὲ ἔοικε τεὸν ἔπος ἀρνήσασθαι·
Ζηνὸς γὰρ τοῦ ἀρίστου ἐν ἀγκοίνῃσιν ἰαύεις. »
Ἦ, καὶ ἀπὸ στήθεσφιν ἐλύσατο κεστὸν ἱμάντα
ποικίλον, ἔνθα δέ οἱ θελκτήρια πάντα τέτυκτο·
ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος, ἐν δ' ὀαριστύς,
πάρφασις, ἥ τ' ἔκλεψε νόον πύκα περ φρονεόντων·
τόν ῥά οἱ ἔμβαλε χερσὶν ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
« Τῆ νῦν, τοῦτον ἱμάντα τεῷ ἐγκάτθεο κόλπῳ,
ποικίλον, ᾧ ἔνι πάντα τετεύχαται· οὐδέ σέ φημι
ἄπρηκτόν γε νέεσθαι, ὅ τι φρεσὶ σῇσι μενοινᾷς. »
Ὣς φάτο, μείδησεν δὲ βοῶπις πότνια Ἥρη,
μειδήσασα δ' ἔπειτα ἑῷ ἐγκάτθετο κόλπῳ.
Ἡ μὲν ἔβη πρὸς δῶμα Διὸς θυγάτηρ Ἀφροδίτη,
Ἥρη δ' ἀίξασα λίπεν ῥίον Οὐλύμποιο,
Πιερίην δ' ἐπιβᾶσα καὶ Ἠμαθίην ἐρατεινὴν

***Num.*** — **213** damn. Arist. et Ar. : ὅτι ἐκλύει τὴν χάριν, εἰ ἕνεκα τοῦ Διὸς δίδωσι καὶ οὐκ αὐτῆς [A].

***Var.*** — **208** κείνω* (Ar. [AT]) : κείνων (Zen. Arist. [AT]), uel κείνους pap. 60, Eust. || γ' ἐπέεσσι : ἐπέεσσι Eust. || **215** ἔνθα δέ (Eust.) : ἔνθά τε cod. unus || τέτυκτο (Eust.) : τέτυκται cod. unus || **216** ἔνθ' ἔνι (testes) : τῇ ἔνι testis || ἐν δ' ... ἐν δ'* : ἐν δ' ... ἠδ' (*in quibusdam commentariis* [A]), uel ενθ... ενθ pap. 60 || **217** φρονεόντων* (Eust., testes) : φρονέοντος (Aristot. *Eth. Nic.* 1149 b), uel φρονέοντα (testis) || **219** τῆ (Eust., testis) : τῇ (*quidam* ap. Apoll. Soph. s. u.) || ἐγκάτθεο* : ἐνικάτθεο || **221** γε νέεσθαι (Ar. [ABLT], Eust.) : γενέεσθαι Dem. Ixion [A], *quidam* [BLT], uel γε γενέσθαι codd. pauci || **222** μείδησεν* : γήθησεν (pap. 60, u. l. [T]) || βοῶπις πότνια Ἥρη* : θεὰ λευκώλενος Ἥρη (pap. 60) || **223** ἑῷ* (Ar. [T], *alii* [A]) : μέσῳ (A, Zen. [T], Ar. [A]) ; utrumque Eust.



σεύατ' ἐφ' ἱπποπόλων Θρῃκῶν ὄρεα νιφόεντα,
ἀκροτάτας κορυφάς· οὐδὲ χθόνα μάρπτε ποδοῖιν·
ἐξ Ἀθόω δ' ἐπὶ πόντον ἐβήσετο κυμαίνοντα,
Λῆμνον δ' εἰσαφίκανε, πόλιν θείοιο Θόαντος.
Ἔνθ' Ὕπνῳ ξύμβλητο, κασιγνήτῳ Θανάτοιο,
ἔν τ' ἄρα οἱ φῦ χειρὶ ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
« Ὕπνε, ἄναξ πάντων τε θεῶν πάντων τ' ἀνθρώπων,
ἠμὲν δή ποτ' ἐμὸν ἔπος ἔκλυες, ἠδ' ἔτι καὶ νῦν
πείθευ· ἐγὼ δέ κέ τοι εἰδέω χάριν ἤματα πάντα.
Κοίμησόν μοι Ζηνὸς ὑπ' ὀφρύσιν ὄσσε φαεινώ,
αὐτίκ' ἐπεί κεν ἐγὼ παραλέξομαι ἐν φιλότητι·
δῶρα δέ τοι δώσω καλὸν θρόνον, ἄφθιτον αἰεί,
χρύσεον· Ἥφαιστος δέ κ' ἐμὸς πάις ἀμφιγυήεις
τεύξει ἀσκήσας, ὑπὸ δὲ θρῆνυν ποσὶν ἥσει,
τῷ κεν ἐπισχοίης λιπαροὺς πόδας εἰλαπινάζων. »
Τὴν δ' ἀπαμειβόμενος προσεφώνεε νήδυμος Ὕπνος·
« Ἥρη, πρέσβα θεά, θύγατερ μεγάλοιο Κρόνοιο,
ἄλλον μέν κεν ἔγωγε θεῶν αἰειγενετάων

***Num.*** — **228** om. Strabo I, 27 (225-229 laudans) || **229** om. pap. 60 || **231 a** ἐρχομένῳ κατὰ (κατὰ T : μετα pap. 60) φῦλα βροτῶν ἐπ' ἀπείρονα γαῖαν add. *quidam* [T] et pap. 60 || **241 a b** αὐτὰρ ἐπὴν δὴ νῶι κατευνηθέντε (κατευνηθέντε Bekker : κατευνηθέντες T) ἴδηαι | αγγεῖλαι (ἀγγεῖλαι Bekker : ἀγγεῖται T) τάδε πάντα Ποσειδάωνι ἄνακτι add. *quidam* [T].

***Var.*** — **227** σεύατ' (testis) : ἔσσυτ' u. l. [A] || ἱπποπόλων (Eust., testis) : ἱππονόμων *quidam* [T], uel ἱπποκόμων u. l. [L] || νιφόεντα* (Eust., testis) : σκιόεντα || **229** ἐπὶ πόντον (Eust., testes) : ἐς πόντον Zen. [AT], Arist. [A], Ar. [T] || ἐβήσετο (A, Zen., Arist. [A]) : ἐβήσατο (pap. 9, 10, Eust. 980, 26), uel ἐδύσετο Eust. 391, 45, uel ἐδύσατο Eust. 479, 6; 1484, 61 ; 1830, 63 || **230** Θόαντος* (Eust., testis) : ἄνακτος || **234** ἠμὲν* [uel ἦ μὲν] : εἰ μὲν (u. l. [Eust.]) || ἐμὸν* : ἐμεῦ (Eust.) || **235** πείθευ* : πείθεο (pap. 10, Eust.), uel πείθε' || εἰδέω χάριν* (*uiliores* [A], Eust.) : ἰδέω χάριν (A, pap. 10, pap. 60, testis), uel χάριν εἰδέω (Ar. [A]); εἴδω χάριν corr. Brandreth || **236** ὑπ'* (Arist., Ar. [A], Eust.) : ἐπ' (Zen. [AT]) || **237** παραλέξομαι ἐν : παραλέξωμαι Eust. || **240** τεύξει : τεύξει' interpr. Allen || **241** ἐπισχοίης (Alexander Cotiaensis [A], Eust.) : ἐπίσχοιες (A, Herodianus [A]), uel ἐπισχοῖες *nonnulli* [T], uel επεσχοιες pap. 60, uel ἐπισχοιας pap. 9 ; hoc praefert Wackernagel *Sprachl. Unters.* p. 14 || **242** νήδυμος (σὺν τῷ ν sch. A): ἥδυμος olim alii [cf. ad B 2], quod malunt edd. nonn. || **244** κεν : γαρ pap. 60.